πολλοὺς ὑπ' αὐτοῦ ἠδικήθη. ἐν τῇ νυκτὶ γὰρ ταύτῃ ἡ αἴλουρος αὕτη ὃν εἶχεν ἀλεκτρυόνα γενναῖον καὶ μάχιμον, ἔτι δὲ καὶ τὰς ὥρας αὐτῷ σημαίνοντα ἀκριβῶς ἀπέκτεινεν. ὁ δὲ νεκτεναβὼ ἔφη, οὐκ αἰσχύνῃ ψευδόμενος αἴσωπε. πῶς γὰρ ἐν μιᾷ νυκτὶ αἴλουρος ἀπ' αἰγύπτου εἰς βαβυλῶνα ἐπορεύθη. ὁ δὲ μειδιάσας ἔφη, εἰπέ μοι οὖν βασιλεῦ, πῶς ἐν βαβυλῶνι τῶν ἵππων χρεμετιζόντων ἐνθάδε αἱ θήλειαι ἀκούσασαι ἐκτιτρώσκουσιν. ἀκούσας δὲ ταῦτα ὁ βασιλεὺς ἐμακάρισεν αὐτοῦ τὴν φρόνησιν. τῇ δὲ ἐπιούσῃ ἡμέρᾳ μετεπέμψατο ἀπὸ ἡλιουπόλεως ἄνδρας σοφοὺς ἐπισταμένους τὰ φυσικὰ ἐπερωτήματα καὶ διαλεχθεὶς αὐτοῖς περὶ τοῦ αἰσώπου ἐκάλεσεν αὐτοὺς ἐπὶ δεῖπνον ἅμα τῷ αἰσώπῳ